Legal Documents in Ancient Society VIII
Accounts and Bookkeeping in the Ancient World: Question of Structure
Schwetzingen, Sep. 22-24, 2016

# The Evolving Format of Building Accounts in Classical Athens

Cristina Carusi
carusi@austin.utexas.edu



## **1.** Unknown Work's Accounts (*IG* I³ 433, l. 21-55) – Mid-5th c.

[λε̄]μμα : MM-------
[ἀνά]λομα : τ[αὐτόν] *vacat*
V Φ[ιλ]ọγος γ[ραμματεύοντος Πρ]-
ο[β]αλισίο [: ἐπιστάται . . c.6 . .]
ε[.]εος Κυδ[α. . . . . . c.14 . . . . . .]
ον Κέττιο[ς (IV) . . . . . . c.14 . . . . . .]
θεν: Δεμε[. . . . . . . c.16 . . . . . . .]
Ἄρχịḷḷο[ς] Κ[--- λε̄μμα]
Μ[Μ]ΜΧΧΧΧ̣𐅅Ḥ------
ἀνάλομα τα[ὐτόν] *vacat*
VI Θ[ρ]ασί[π]πο γ[ρα]μ[ματεύ]ο[ντος "]
Γαργε[τ]τ[ί]ο, [ἐπιστάται *vacat* ]
Ἀμ[ο]ίβιχος [Λ]αμ[πτρε]ύ[ς] (I), Ο[. c.4 .]
hεστιαιόθ̣[εν] : (II) [. . . . . c.12 . . . . .]
Μυρρινόσ[ι]ο[ς : (III) . .]θο[. .]ο[. . 5 . .]
Κέττιος (IV), Φ[. . .]λο[. . .] : Θ̣[ορίκιος? (V)]
λε̄μμα Μ[Μ]Μ[.]ΧΗΗΗ[. .]Δ⊦⊦--
ἀνάλομα : Μ[. .]ΧΧ[.]Η[. .]Δ̣⊦--
τ[ο]ῖς νέοι[ς ἐ]πι[σ]τ[ά]τ[ε]σ[ι παρέ]-
δομεν [ἀ]πὸ τ[. . . .]ο-----
VII Ν[ι]κ̣ο[. . . .]ο [γρα]μ[ματεύοντος]
Θορι[κί]ο [ἐπιστάται . . . c.7 . . .]
[.]Ο[.]ΟV[. .]ΟΕ----------
Πυθόδορος Φ[λ]υ[ε]ύ[ς (VII), . . . c.8 . . .]
Κριο̄θε[ν] (Χ), Ἐ̣π̣------
λεμμά[τ]ο[ν] κ[ε]φ[άλαι]ο[ν] Μ[. . c.5 . .]
𐅄ΔΔΔΓ̣------
ἀναλόμ[ατ]ο[ς] κ̣ε[φάλαι]ο[ν ---]
τοῖς νέο[ι]ς [ἐ]π[ι]σ[τάτεσ]ι πα[ρέδομεν]
Μ𐅆𐅅𐅅ΔΔΓ⊦⊦---
VIII Εὐθέμονος γραμ[μ]ατ̣εύο[ντος]
ἐπιστάτα[ι] Ạὐτο[κ]λε̄[ς] Π̣ερ̣[αιε]-
ύς : (VIII) Στρατο[κ]λ̣ε̣̄ς [. . . 6 . . .]φ[ι[. . .]
Ἐρχιεύς : (II) Σ̣[. .]ΙΒ̣[. .]Ν[. . .]Κ[. . .]
[λέ]μ[ματος κεφάλαιον? --]

*sex vv. abrupti*
*infra vacat*

## **2.** Athena Promachos' Accounts (*IG* I³ 435, l. 50-85) – Early 440s

[. . . . . . . . 17 . . . . . . . .]ị *vacat*
[μισθοὶ κατ' ἐμέραν, μι]σ̣θοὶ κατὰ
[πρυτανείαν, μισθοὶ ἀ]πόπαχς·
[γε̄ καὶ τρίχες] *vacat*
[μισθοὶ ἐπιστάτεσι κ]αὶ γραμ-
[ματεῖ καὶ hυπερέτει] *vacat*
[ἀργύριον ἄσεμον ἐς] ποικιλί-
[αν το̄ ἀγάλματος] *vacat*
[κεφάλαιον ἀναλόματ]ος
[σύνπαντος] *vacat*
[περιεγένετο το̄ λέμμ]ατος
[ἐς τὸ hύστερον ἔτος] *vacat*
[*vacat*] *vacat*
[hοῖς . . . . 8 . . . . ἐγραμμ]άτευ[ε]
[. . . . . . 12 . . . . . ἐπισ]τάτ[αι]
---- [ἔλαβον παρὰ κολα]κρετ[ο̄ν σύνπαν·] C
---- [λε̄μμα περιγενό]μενο[ν]
[ἐκ το̄ προτέρο ἐν]ιαυτο̄·
---- [ἀπὸ τούτο ἐς hιε]ρά·
---- [χαλκο̄ τάλαντα :] Δ̣ΤΤΤΤ Ε[ὐβοικά.]
[τιμὲ τούτο] *vacat*
---- [καττιτέρο τάλ]αντα : 𐅃ΤΤ---?
[τιμὲ τούτο] *vacat*
---- [. . . . 10 . . . .ργ[α]ν τοῖ ἔργο[ι . . . .]
---- [. . . . 8 . . . . καὶ οἰκο]δομίαν κα[μίνον·]
D [. 3-4 .]ΔΔΔΓ⊦------ [ἄνθρακες κ]αὶ χσύλα κα[ύσιμα·]
μ[ισθοὶ κατ' ἐμέ]ραν, μισθοὶ κ[ατὰ πρυ]-
[𐅆Χ]𐅅ΗΙΙ τ̣α̣[νείαν, μισθο]ὶ ἀπόπαχς·
[𐅄]ΔΓ⊦ γ[ε̄ καὶ τρίχες] *vacat*
[.]ΗΗ𐅄ΔΔΔ ἀ[ργύριον ἄσεμ]ον ἐς ποι[κιλίαν]
[.]ΗΙ το̄ [ἀγάλματος·]
Χ𐅅ΗΗΗΗ μ[ισθοὶ ἐπισ]τάτεσι κα[ὶ γραμμα]-
𐅄Δ⊦⊦⊦ΙΙ τ[εῖ καὶ hυπερ]έτει·
ΜΧΧΗΗΔΓ⊦⊦------ [κεφάλαιον] ἀναλόματ[ος σύνπαν·]
Γ̣ΗΗ𐅄ΔΔ π[εριεγένετ]ο το̄ λέμματ[ος]
[. .]Ι ἐ[ς τὸ hύστερ]ον ἔτος·

*vacat 0,145*

# 3. Parthenon Accounts (*IG* I³ 436-451, l. 322-368) – 447-6-433/2

| | | |
|---|---|---|
| ––––– | [. . . . . 13 . . . . . παρέλ]αβον ἐς τὰ ἐργα- | |
| | [στέρια παρὰ . . . 6 . . ]όντος | |
| ––––– | [χσύλον πραθέντον τρ]οχον κυκλιαίον | |
| | [τιμὲ τούτον] *vacat* | |
| ––––– | [. . . . . . . 15 . . . . . . . κ]αττιτέρο τιμέ | C |
| ––––– *vacat* | | |
| | [ἀναλόματα] *vacat* | |
| ––––– | [ὀνεμάτον] *vacat* | |
| ––––– | [μισθομάτον] *vacat* | |
| ––––– | [λιθοτόμοι]ς Πεντελεθεν καὶ πελεκ- | |
| | [ετεσι τὸν λ]ίθον [τ]ὸν ἐς τὰ ἐναιέτια | |
| ––––– | [hοδοποιοῖ]ς καὶ [λί]θος ἀνατιθεσι ἐπὶ | |
| | [τὰ κύκλα Πε]ντελ[ε]σι τὸς [ἐ]ς τὰ ἐναιέτια | |
| ––––– | [λιθαγογία]ς Πεντελεθεν | |
| ––––– | [λιθολκίας] ἐς τὰ ἐργαστέρια | |
| | [. . . . . . . . c. 18 . . . . . . . . ]ρον––– | |
| ––––– | [ἀγαλματοποιοῖς ἐναιετ]ίο[ν] μισθός | |
| ––––– | [καταμενίον] *vacat* | |
| *R* ––––– | [περιεγένετο τὸ] ἐνι[αυτὸ τ]ούτο | |
| [𐅅Δ̣Δ̣≶≶≶≶] | [χρυσō στατε]ρες Λαμφ[σακε]νοί | |
| [Δ̣Δ̣𐅃≶≶ hέκτε] | [χρυσō στατε]ρες Κυζικ[εν]οί | |
| | *vacat* | |

447
Annus XII, a. 436/5

| | | |
|---|---|---|
| [τοῖς ἐπιστάτεσι hοῖς Ἀντικλες ἐ]γραμμάτευε [ἐπὶ] τες [δο]- | | F |
| [δεκάτες βολες hει . . . . . . 13 . . . . . ] πρōτος ἐγρ[αμμ]άτευ[ε] | | |
| [ἐπὶ Λυσιμάχο ἄρχοντος Ἀθεναῖοι]ς λέμματα τὸ [ἐνι]αυτὸ τά[δε·] | | |
| ––––– | [περιγενόμενο]ν ἐκ τὸ προτέρ[ο ἐνι]αυτὸ | |
| [𐅅Δ̣Δ̣≶≶≶≶] | [χρυσō στατερ]ες Λαμφσακεν[οί] | |
| [Δ̣Δ̣𐅃≶≶ hέκτε] | [χρυσō στα]τερες Κυζικενο[ί] | |
| | [. . . 8 . . . ]τορον hιερον hο[. . ? . . ]ενδαιος | |
| | [. . . . ? . . . ]ν τοῖν ἀδυνάτοιν [– – ?] *vacat* | |
| | [ἀναλόματα] | |
| ––––– | [ὀνεμάτ]ον | |
| ––––– | [μισθομά]τον | |
| ––––– | [λιθοτ]όμ[οις Πεντελεθεν] | Q |
| ––––– | [λιθα]γογία[ς Πεντελεθεν] | |
| | [hοδο]ποιοῖς καὶ τὸλ λίθο[ς ἀνατιθεσι] | |
| ––––– | [ἐπὶ τ]ὰ κύκλα [Πεντελ]εσι τὸς [ἐς τὰ ἐναιέτια] | |
| ––––– | [λιθολ]κίας ἐς τὰ ἐργαστέρια | |
| ––––– | [ἀγαλ]ματοποιοῖς ἐναιετίο[ν μισθός] | |
| ––––– | [καταμενίον] | |
| ––––– | [περιε]γέ[νετο] τὸ ἐνιαυτ[ὸ τούτο] | |
| [𐅅Δ̣Δ̣≶≶≶≶] | [χρυσō] στα[τερ]ες Λαμ[φσακενοί] | |
| [Δ̣Δ̣𐅃≶≶ hέκτε] | [χρυσō] στατερες Κυζικ[ενοί] | |
| | *vacat* | |

448
Annus XIII, a. 435/4

| | | |
|---|---|---|
| [ἐπιστάτεσι hοῖς Ἀντικλ]ες ἐγραμμάτε[υε ἐπὶ τες τρί(τες] | | |
| [καὶ δεκάτες βολες hει . . . . ]ι[. . . ]ο[ς πρōτος ἐγραμμάτευε κτλ.] | | |
| | *lacuna* | |
| | [ἀγαλματοποιοῖς ἐναιετίον μισθ]ός | N |
| | *lacuna* | |

## **4.** Accounts of the Bronze Statues of Athena and Hephaestus (*IG* I³ 472) – 421/0-416/5

*a* [ θ ] ε ο [ ί · ] *b*

ἐπιστάται ἀγαλμάτοιν ἐ[ς τὸ] ḥεφαίστιον Ἀπόλεχσις Σμικύθο *v*
[Ἰ]φιστιάδες, Χαιρέας Ἐπι[. . .]ο hαγνόσιος, Πείσανδρος Γλαυκέτο
Ἀχαρνεύς, γραμματεὺς Ο[ἰκο]τέλες Γεισίο Λαμπτρεύς *vvvvvvvv*
*v* ἔρχσαντο τõν ἔργον ἐπὶ Ἀριστί[ονος ἄρχ]οντος, ἐπὶ τε̃ς βολε̃ς hε̃ι Μενεκλε̃ς Ἀναφλύστιος *vvv*
*v* πρõτ[ο]ς ἐγραμμάτευε, ἐπὶ τε̃ς Λε[οντίδος] πέμπτες πρυτανευόσες *vacat*

*vacat*

*vacat*

[λ]έ[μματ]α πα[ρ]ὰ ταμιõν τõν ἄλλον θεõν Στ[ρατοκλ]έος Κεφαλεῖος (V), Ἀριστοφõντος Ἀθμονέος (VII),
Λυσιμάχο ἐκ Κεδõν (I), Θοδόρ*v*-
ο Γ[αργ]ε[τ]τ[ί]ο (II), Ἀντιμάχο hοαέος (III), Χσενοκ[. . ⁵ . . Φρεαρ]ρίο (IV), Ὀνομακλέος Περιθοίδο (VI),
Νικοβόλο ἐχς Ἐλαίας (VIII), Χσενοφõντο[ς]
[Ῥ]α[μν]οσί[ο (IX), . .]σιστράτο Αἰγιλιõς (X), hοῖς [. . . . . ¹¹ . . . . .] hαλαιεὺς ἐγραμμάτευε, ἐπὶ Ἀριστίονος
ἄρχοντος· κεφάλ(αιον) Τ *vvv*
ἐπὶ Ἀστυφ[ί]λο ἄρχοντος, ἐπὶ τε̃ς βολε̃ς [hε̃ι Χαρ]ῖ[νος Πέ]λεχς πρõτος ἐγραμμάτευε, παρὰ ταμιõν τõν
ἄλλον θεõν *vvvvv*
Ναυκλέο[ς Μ]ελιτέος (VII), Χαρμίδο Λαμπτρέ[ος (I), . . . . ? . . . . Κο]λονε̃θεν (IV), Χιόνιδος Προσπαλτίο (V),
Λυσιστράτο Κοθοκίδο (VI) *vvvv*
Κτεσονί[δ[ο] Πρασιõς (III), Αὐτοκλέος Ἀλοπεκ[ε̃θεν (X), . . . . στ]ράτο hαλαιõς (II), Βουταλίονος Μαρα-
θονίο (IX), hοῖς Καλλιππίδες *vvv*
Εὐονυμεὺς ἐγραμμάτευε· κεφάλαιον 𐅈 [. . . . ἐπὶ Ἀρχ(ο] ἄρχοντος οὐδὲν παρέλαβον *vacat*
ἐπὶ Ἀντιφõντος ἄρχοντος, ἐπὶ τε̃ς β[ολε̃ς hε̃ι . . . ? . . .] Ἀφιδναῖος πρõτος ἐγραμμάτευε, παρὰ ταμιõν
τõν ἄλλον θεõ[ν·]
[Φ]ιλύλλ[ο Ἐ]λευσ[ι]νίο (VIII), Ἀντιφανίδο Εὐ[ονυμέος (I), . . . ? . . .]ς Κυδαντίδο (II), Εὐθυκράτος Κυδα-
θεναιõς (III), Τεισικράτος Ποτα[μ(ίο) (IV)],
[Σ]οσιχίο hαγνοσίο (V), Πασιμένος Π[. . . . . . (VI) . ¹⁶ . . . . . .] Φλυέος (VII), Διοφάντο Ἀφιδναίο (IX), Χαι-
ρι[κλέο]ς Παλλενέ[ος (X), hοῖ]ς ' ' ' '
[Ε]ὔβολος Ἐρχιεὺς ἐγραμμά[τευε· κεφάλαιον – – – –] *vacat*
[ἐπὶ Εὐφέμο] ἄρχοντο[ς οὐδὲν παρέλαβον *v* ἐπὶ Ἀριμνέστο ἄρχοντος οὐδὲ]ν πα[ρέλαβον *vacat*]

Col. I Col. II

*c. 70 vv. desunt*

Col. III Col. IV

*c. 47 vv. desunt*

*c*

| Col. III | Col. IV |
|---|---|
| | [—] [.]ελε – – – |
| | χαλκὸς ἐονέθε [ἐς τὸ ἄνθεμον, τάλαντα – – –] |
| – – – | καίδεκα καὶ μναῖ δέκα, τιμὲ [τõ ταλάντο τρι]- |
| | άκοντα πέντε δραχμαί. |
| | καττίτερος ἐονέθε ἐς τὸ ἄνθεμον, [τάλαντον] |
| [ΗΗΗΗΔΔΔΓ( ] | καὶ hεμιτάλαντον καὶ μναῖ εἴκοσι τ[ρε̃ς καὶ] |
| | hεμιμναῖον, τὸ τάλαντον διακοσίον τρ[ιάκ]- |
| | οντα δραχμõν, τιμέ *vacat* |
| | μισθὸς τοῖς ἐργασαμένοις τὸ ἄνθεμον hυπ[ὸ] |
| – – – | τὲν ἀσπίδα καὶ τõν πετάλον τõν hύ[σ]τερον |
| | προσμισθοθέντον. |
| – – – | μόλυβδος τõι ἀνθέμοι καὶ τοῖς δεσμοῖς τõν |
| | λίθον τõ βάθρο, κρατευταὶ δόδεκα, τιμέ. |
| – – – | χσύλα καὶ ἄνθρακες τõι μολύβδοι. |
| – – – | τράπεζαν ποιέσαντι. |
| | μισθὸς ἐσαγαγόντι τὸ [ἀγ]άλματε καὶ |
| – – – | στέσαντι ἐν τõι νεόι. |
| | χσύλα ἐονέθε τὸ κλίμακε ποιε̃σαι, ἐν hοῖν τὸ |
| | ἀγάλματε ἐσεγέσθεν [κ]αὶ ἐφ᾽ ὃν hοι λίθοι ἐσ- |
| – –] | εκομίζοντο hοι ἐς τὸ βάθρον, καὶ φάρχσαι |
| | τὸ βάθρον τοῖν ἀγαλμάτοιν καὶ τὰς θύρας, |
| | καὶ ἰκριõσαι περὶ τὸ ἀγάλματε καὶ κλίμακε |
| | πρὸς τὰ ἴκρια. |
| | *5 vv. vacant* |

[ἀναλόματ]ος κεφάλαιον 𐅈ΧΧΧΗΗΗΔ

*vacat*

# 5. Erechtheum Report (*IG* I³ 474, l. 1-56, 115-163) – 409/8

*pars adversa*

a. 409/8 *II* [ἐ]πιστάται τō νεὸ τō ἐμ πόλει ἐν hōι τὸ ἀρχαῖον ἄγαλμα, Βροσυν[ί]-
[δ]ες Κεφισιεύς, Χαριάδες Ἀγρυλε̄θεν, Διόδες Κεφισιεύς, ἀρχιτέκτο[ν]·
[Φι]λοκλε̄ς Ἀχαρνεύς, γραμματεὺς Ἑτέαρχος Κυδαθεναιεύς.
[τά]δε ἀνέγραφσαν ἔργα τō νεὸ hος κατέλαβον ἔχοντα κατὰ τὸ φσέ-
[φισ]μα τō δέμο hὸ Ἐπιγένες εἶπεν, ἐχσεργασμένα καὶ hεμίεργα, ἐπὶ Διο-
[κ]λέος ἄρχοντος, Κεκροπίδος πρυτανευόσες πρότες, ἐπὶ τε̄ς βολε̄ς
[h]ε̄ι Νικοφάνες Μαραθόνιος πρōτος ἐγραμμάτευσεν.

Col. I

τō νεὸ τάδε κατελάβομεν hεμί̣εργα·
ἐπὶ τε̄ι γονίαι τε̄ι πρὸς τō Κεκροπίο·
πλίνθος ἀθέτος με̄κος τετρά-
IIII ποδας, πλάτος δίποδας, πάχος
τριhεμιποδίος.
μασχαλιαίαν με̄κος τετράποδα,
I πλάτος τρίποδα, πάχος τριōν
hεμιποδίον.
ἐπικρανίτιδας με̄κος τετράπο-
Γ δας, πλάτος τρίποδας, πάχος
τριōν hεμιποδίον.
γονιαίαν με̄κος hεπτάποδα,
[I] πλάτος τετράποδα, πάχος
τριōν hεμιποδίον.
γογγύλος λίθος ἄθετος, ἀντίμο-
[I] ρος ταῖς ἐπικρανίτισιν, με̄κος
δεκάπος, hύφσος τριōν
hεμιποδίον.
ἀντιμόρο τοῖς ἐπιστυλίοις
II με̄κος τετράποδε, πλ[άτος πεν]-
τεπαλάστο.
κιόκρανον ἄθετον [ἐπὶ τὸ]
I μέτοπον τὸ ἔσο με̄κ[ος τρίπον,]
πλάτος τριōν hεμιποδ[ίον, πάχος]
τριōν hεμιποδίον.
ἐπιστύλια ἄθετα μ[ε̄κος ὀκτ]ό-
Γ ποδα, πλάτος δυοῖν π[οδοῖν]
καὶ παλαστε̄ς, πάχος [δίποδα.]
ἐπιστύλια ἄνο ὄντα [ἔδε]
ἐπεργάσασθαι με̄κος ὀκτόπο-
III δα, πλάτος δυοῖν ποδοῖν καὶ πα-
λαστε̄ς, πάχος δίποδα.
τō δὲ λοιπō ἔργο hάπαντος
ἐγ κύκλοι ἄρχει hο Ἐλευσινιακὸς
III λίθος πρὸς hōι τὰ ζōια, καὶ ἐτέθε
ἐπὶ τōν ἐπιστατōν τούτον.
τōν κιόνον τōν ἐπὶ τō τοίχο
τō πρὸς τō Πανδροσείο,
IIII κειμένον κιόνον
ἄτμετα ἐκ τō ἐντὸς ἀνθε-
μίο ἑκάστο τō κίονος τρία
hεμιπόδια.
ἐπιστυλίο ὀκτόποδος
ἐπὶ τō τοίχο τō πρὸς νότον
κυμάτιον ἐς τὸ ἔσο ἔδε
ἐπιθε̄ναι.
τάδε ἀκατάχσεστα καὶ
ἀράβδοτα·
τὸν τοῖχον τὸν πρὸς νότο

Col. II

τούτον hεκάστο οὐκ ἐχσέργα-
σται hο hαρμὸς hο hέτερος οὐδὲ
hοι ὄπισθεν hαρμοί.
με̄κος hέκποδες, π[λ]άτος δίπο-
ΔII δες, πάχος ποδιαῖοι·
τούτον hεκάστο οὐ[κ] ἐχσέργα-
σται hο hαρμὸς hο hέτερος οὐδὲ
hοι ὄπισθεν hαρμοί.
τετράποδες με̄[κ]ος, πλάτος δίπο-
Γ δες, πάχος ποδιαῖοι·
τούτον hεκάστο οὐκ ἐχσέργα-
σται hο hαρμὸς hο hέτερος οὐδὲ
hοι ὄπισθεν hαρμοί.
πεντέπος με̄κος, πλάτος δίπος,
I πάχος ποδιαῖος·
τούτο ἀργὸς hο hαρμὸς hο hέτε-
ρος καὶ hοι ὄπισθεν hαρμοί.
γεῖσα με̄κος τετράποδα, πλάτος
τρίποδα, πάχος πεντεπάλαστα,
ΓII λεῖ[α] ἐκπεποιεμένα ἄνευ κατα-
τομε̄ς.
Γ hέτερομ μέγεθος τὸ αὐτὸν·
κυματίο καὶ ἀστραγάλο hεκατέρο
ἄτμετοι ἦσαν τέτταρες πόδες
hεκάστο.
II hετέροιν
ἄτμετοι ἦσαν τō κυματίο τέτταρες
πόδες, τō δὲ ἀστραγάλο ὀκτὸ πόδες.
I hετέρο
τō κυματίο τρία hεμιπόδια ἄτμετα,
ἀστραγάλο τέτταρες πόδες.
I hέτερον
τὲμ μὲν λείαν ἐργασίαν ἔργαστο,
τō δὲ κυματίο ἀργοὶ πόδες ἦσαν hὲχς
καὶ hεμιπόδιον, ἀστραγάλο ἀργοὶ
πόδες ὀκτό.
I hετέρο
κυματίο ἓχς πόδες ἀργοί,
ἀστραγάλο ὀκτὸ πόδες.
I hέτερον
hεμίεργον τε̄ς λείας ἐργασίας.
τὸν ἀπὸ τε̄ς στοᾶς με̄κος τετράπο-
IIII δα, πλάτος τρίποδα, πάχος πεντε-
πάλαστα, λεῖα ἐκπεποιεμένα
ἄνευ κατατομε̄ς.
γονιαία ἐπὶ τὲν πρόστασιν τὲν
πρὸς hέο, με̄κος hέκποδε, πλάτος
II τετάρτο hεμιποδίο, πάχος
πεντεπάλαστα·

# **6.** Erechtheum Accounts (*IG* I³ 476, l. 258-346) – 408/7

*XVII* Col. II

[––– κεροπλάσταις τὰ παρα]-
δείγματα πλάττοσι τὸν χαλκ-
ὸν τὸν h[ε]ις τὰ καλύμματα, Νεσ-
εῖ ἐμ Μελίτει hοικο͂ντι :ΓͰͰͰ.
hέτερον παράδειγμα πλάσαν-
τι, τὲν ἄκανθαν, hεις τὰ καλύμ-
ματα, Ἀγαθάνορ Ἀλοπεκε͂σι hο-
ικο͂ν, ΓͰͰͰ. κεφάλαιον κεροπλ-
άσταις :ΔΓͰ. μισθοί· ἀρχιτέκτ-
ονι Ἀρχιλόχοι Ἀγρυλε͂θεν, ΔΔ
ΔΓͰ, hυπογραμματε͂ι Πυργίον-
ι hοτρυνε͂ι :ΔΔΔ. κεφάλαιον μι-
σθο͂, 𐅄ΔΓͰ. ἐνκαυτε͂ι τὸ κυμάτι-
ον ἐνκέαντι τὸ hεπὶ το͂ι hεπι-
στυλίοι το͂ι hεντός, πεντόβο-
λον τὸν πόδα hέκαστον, πόδας
hεκατὸν δεκατρε͂ς, μισθοτε͂ι
προσhαπέδομεν πρὸς hο͂ι πρό-
τερον εἶχε, Διονυσοδόροι ἐμ
Μελίτει hοικο͂ντι, hεγγυετὲ-
ς hερακλείδες Ὀε͂θεν, ΔΔΔΔͰͰ
ͰͰI: κεφάλαιον hενκαυτε͂ι :ΔΔ
ΔΔͰͰͰͰI: λε͂μμα :ΧΗΗΔΔΔΓͰͰͰͰ
I. ἀνάλομα τὸ hαυτό ″ :: hεπὶ τε͂-
ς Αἰγεῖδος ″ λέμματα παρὰ τα-
μιο͂ν τε͂ς θεο͂, παρὰ Ἀρεσαίχμο
Ἀγρυλε͂θεν καὶ συναρχόντον,
Χ[.]ΗΗΗ⁝ [. . .⁶. . .] ″ hεις ἱερὰ με-
[τ]ὰ τὸν δεμι[ορ]γο͂ν, hένει καὶ ν-
έαι, hεις θυσίαν τε͂ι Ἀθεναία-
ι, ͰͰͰͰIIII. ἀναλόματα· hονέμα[τ]-
α· χάρται hεονέθεσαν δύο hες
ἃ τὰ ἀντίγραφα hενεγράφσαμ-
εν, ͰͰIIII. σανίδες τέτταρες, ͰͰ
ͰͰ. χρυσίον hεονέθε hεις τὰς
χάλκας, πέταλα Η𐅄ΔΓI, δραχμε͂-
ς hέκαστον τὸ πέταλον, παρ' Ἀδ-
όνιδος ἐμ Μελίτει hοικο͂ντο-
ς :Η𐅄ΔΓͰ. μόλυβδος hεονέθε [δύ]-
ο ταλάντο hεις πρόσθεσι[ν το͂]-
ν ζοιδίον παρὰ Σοστράτ[ο ἐμ Μ]-
ελίτει hοικο͂ντος :Δ: χρυσ[ίο π]-
ετάλο δύο hεονέθε χρυσο͂[σαι]
τὸ hοφθαλμὸ το͂ κίονος παρ' [Ἀδ]-
όνιδος ἐμ Μελίτει hοικο͂[ντ]ο-
ς, ͰͰ. κεφάλαιον hονεμάτο[ν] Η𐅅
ΔΔΔΓͰͰͰͰI: λιθοργικο͂· ῥαβδό-
σεος το͂ν κιόνον το͂ν πρὸ[ς] ἔο τ-
ο͂ν παρὰ τὸν βομόν· τὸν [πρὸ]ς το͂
βομο͂ τε͂ς Διόνες, Λάο[σσος] Ἀλ[ο]-
πε : Φίλον hερχιεύς : Π[αρμ]ένον]
Λαόσσο, Καρίον Λαό[σσο, hίκαρ]-
ος, ΗΔ. τὸν hεχόμενο[ν hεχσε͂ς, τ]-
ὸν δεύτερον, Φάλα[κρος Παιαν]-
ιεύς, Φιλόστρ[ατος Παιανιεύ]-
ς, Θαργέλιος [Φαλάκρο, Γε͂ρυς Φ]-
αλάκρο :Η[Δ. τὸν hεχόμενον ἐχσ]-
ε͂ς, Ἀμειν[ι]άδ[ες ἐν Κοίλε. οἰκο͂]-
ν, Λυσαν[ία]ς, Σομέν[ες Ἀμεινιά]-
δο, Αἰσχ[ίν]ες, Τιμο[κράτες, ΗΔ. τ]-
ὸν hε[χόμ]ενον ἐχσ[ε͂ς, Σιμίας Ἀ]-
λοπε. [h]οικο͂ν, Κέρ[δον, Σίνδρον,]
Σοκ[λε͂]ς, Σαννίο[ν, hεπιείκες, Σ]-
ό[σα]νδρος, 𐅄Δ. τ[ὸν hέκτον κίον]-
α [ἀπ]ὸ το͂ βομο͂ τ[ε͂ς Διόνες, Θευγ]-
έ[νε]ς Πειραι., Κ[εφισογένες Πε]-
ι[ρα]ι., Τεῦκρος [ἐν Κυδαθε. hοικ.,]
Κεφισόδορος, [Νικόστρατος, Θ]-
ευγείτον Πειρ., [ΗΔ. κεφάλαιον]
[λ]ιθοργικο͂ 𐅅. χάλκα[ς ἐργασαμ]-
ένοις, Νεσε͂ι ἐμ Μελί. h[οικο͂ν, μ]-
ίαν :ΔͰͰͰͰ. Σοτέλες Α[. . . ? . . .,]
μίαν, ΔͰͰͰͰ: hευμελί[δες] ἐν Σκ-
αμ. hοικ., ΔͰͰͰͰ. Φίλι[ος] ἐν Σκαμ-
βο : hοικ., ΔͰͰͰͰ. Ἀγόρανδρος ἐν
Κολλυ : hοικ., μίαν :ΔͰͰͰͰ. χάλκα-
ς ἐργασαμένοι ε͂χς, Μάνιδι ἐν
[Κολλυτο͂ι h]οι., 𐅄ΔΔΔͰͰͰͰ. χάλκ-
[ας hεργ]ασα[μ]ένοι hένδεκα, Στ-
[ασιάνα]κτι ἐν Κ[ολ]λυ : hοικο͂ντ-
[ι, Η𐅄ͰͰͰ]Ͱ: χάλκεν hεργασαμέν-
[οι ? Ἀρισ]τίπποι Κεττίοι : ΔͰͰͰ
[Ͱ ″ χάλκ]ας hεργασαμένοι τρε-
[ῖς, Θεοδ]ότοι hαχαρ. ΔΔΔΔͰͰ. τὸ
[παράδ]ειγμα hεργασαμένοι, τ-
[ὲν hάκα]νθαν, hεις τὲν [hοροφέ]-
[ν, hο͂ι ο]ὐκ ἐχρησάμεθ[α, Στασιά]-
[νακτι(?) h]εν [Κ]ολλυ : hοι[κ. ΓͰͰͰ. χά]-
[λκεν h]ε[ργα]σαμένο[ι . . . ? . . .]

*lacuna*

## **7.** Accounts of the Sanctuary of the Two Eleusinian Goddesses (*I.Eleusis* 177, l. 176-198) – 329/8

[ἐπ]ὶ τῆς Κεκροπίδος πέμπτης προτανείας τὸ περιὸν παρὰ ταμίαιν τοῖν θεοῖν : Χ𐅅𐅄ΔΓΙΙΤΧ : καὶ τὸ περιὸν
[π]αρὰ ταμίαι τοῖν θεοῖν Νικοφίλωι Ἀλωπεκῆθεν :ΔΔΔΔͰͰΙΙΙ: καὶ τὸ περιὸν παρ' ἐπιστάταις Ἐλευσινόθε
[Ι]ΙϹΧ κ̣α̣ὶ τὸ μερισθὲν παρ' ἀποδεκτῶν ἐπιστάταις : 𐅅ΗΗΗ𐅄· ἀπὸ τούτου τάδε ἀνήλωται· κανοῦν Ἐλευσῖνάδε *v*
[τ]ο̣ῖν θ̣[εο]ῖν παρὰ Σίκωνος Βοιωτίου : ͰͰͰͰ : τροφὴ δημοσίοις, ἀνδράσιν δεκαεπτὰ καὶ τῶι ἐπιστάτηι, τῆς ἡ-
[μ]έρα̣ς̣ [ἑ]κάσ̣τωι : ΙΙΙ, κεφάλαιον ΗΗΗ[Δ]Γ ἐπιστάτηι δημοσίων μισθὸς : Δ : Τηλοφίλωι τῶι κεχειροτονημένωι
[ἀντ]ιγράφεσ̣θαι τὰνα̣λισκόμενα : Γ[Ι]ΙΙΙΙ : νέκυν ἀνελόντι ἐκ τῆς Ῥαρίας μισθὸς Νίκωνι Ἐλευσῖνι οἰκοῦ
[ . · τῶι κα]θήραντι̣ τὴν Ῥαρίαν, χοίρου̣ τιμὴ [: ΔΔͰ], μισθὸς Σωτίωνι ἐν Μελίτει οἰκοῦντι : ΓͰ : κροταφὶς σημάντ-
[ριον? ξ]ύλω[ν πα]ρ[ὰ] Σάννου, τιμὴ : Γ : ὄξ̣υ̣ντρα σ[ιδήρ]ου, ὧι οἱ δημόσιοι ἐργάζονται, Ἡφαιστίωνι Ἐλευσῖνι οἰκ-
[οῦντι . ] Ͱ[ . ]: κ̣λεῖδες ἐπὶ τὴν πυλίδα τοῦ ἱερ[οῦ κ]αὶ τὴν αὐλείαν τοῦ ἐπιστασίου παρὰ Μένωνος ἐν Κολλυτῶ-
[ι οἰκ . . .⁵ . . ]· ἐ̣πισπατῆρ[ες] δύο παρὰ Φίλωνος [ἐκ το]ῦ Θησείου, τιμὴ : ͰͰͰ : Πέρσηι τῶι νεωκόρωι ὥστε τὸ ἐντερ-
[ . . . . .⁹. . . . ]ε̣ῖ̣ν, σίδηρ[ος παρὰ Σ]ωφίλου Ἀλωπεκ[ῆσ]ιν οἰκοῦντι, τιμὴ : ͰͰͰΙΙΙ : ξύλα εἰς Ἀλῶια, τάλαντα : 𐅄ΔΓΙ̣Ι̣,
[τὸ τάλαντ]ον ͰΙΙΙ : παρὰ Κ̲[εφαλί]ωνος? ἐγ Πειραιῶς : ΗΙΙΙ : κληματίδας : 𐅄Δ : δύο τοὐβολοῦ, τιμὴ : Γ : καταφορὰ τού-
[των ἐπὶ θάλαττα]ν̣ μισθὸ̣[ς . . .· να]ῦ̣λ̣ος τούτων Ἐλευσῖνάδε Μελανθίωι πορθμεῖ : ΓͰͰΙΙΙ : χοῖροι δύο καθῆ-
[ραι τὸ ἱερ]ὸ̲[ν τὸ Ἐλ]ευσῖν[ι . . . ]ο̣[ . . κα]ὶ τὴν οἰκίαν τὴν ἱεράν, οὗ ἡ ἱέρεια οἰκεῖ, παρὰ Παταίκου Ἐλευσινίο-
[υ τιμὴ : ΔΔ]ΔΔͰͰ· τῶι καθήρα[ντι . . .⁶ . . . ] μισθὸς : ͰͰ : ξύλων ἐλαΐνων τάλαντα ΙΙΙΙ παρὰ Διοδώρου Ἐλευσῖνι *v*
[οἰκοῦντος ΓΙΙ]· κ̣λη̣ματίδες : Ι[ΙΙ, τιμὴ]ΙΙ· ὁδὸς ταῖς θύραις †οὗ 'νεστιν ἅ ἐστιν† ἐν τῶι ἐν ἄστει Ἐλευσινίω-
[ι παρὰ . . . . .¹⁰. . . . . ] τιμὴ ἐξ Ἀκτ[ῆ]ς ΔΔ[ . . ]· λίθοι δύο μῆκος πεντέποδες, πλάτος τρίποδες, πάχος δίποδες *vv*
[ παρὰ . . . . . .¹¹. . . . . ]ντος ἐξ Ἀκτῆς [ . ]Δ̣[ . . . ]· λίθοι εἰς τὰς παραστάδας τέτταρες μῆκος πεντέποδες, πάχος *v*
[ . . . . . . .¹³. . . . . ], π̣λάτος τρεῖς π[ό]δες, τιμὴ παρ' Ἡνύτου <ἐν> Σκανβωνιδῶν οἰκοῦντ<ος> : ΔΔΔΔ : λίθοι δύο εἰς τὰ γεῖ-
[σα . . . . . .¹². . . . . . ]· κ̣ομιδὴ τῶν λί[θω]ν τούτων ἁπάντων Βίωνι : 𐅄Δ : τῶι ποιήσαντι τὰ λίθινα μισθωτεῖ Δάωι ἐ-
[ν Κυδαθηνα]ίω̣ι̣ ο̣ἰκοῦντι̣ : Η̣𐅄̣ΔΓ̣[ͰͰ]ͰͰ : κεφάλαιον ἀναλώματος : 𐅅ΗΗΗΗ𐅄ΙϹΧ : κεφάλαιον λήμματος παρ' ἀποδε-
[κτῶν 𐅅]ΗΗΗ𐅄 : περίεστι[ν παρὰ] ταμίαιν τοῖν θεοῖν : Χ𐅅𐅄ΔΓΙΙΤΧ : καὶ παρὰ ταμίαι τοῖν θεοῖν Νικοφίλωι Ἀλ-
[ωπε ΔΔ]ΔͰͰΙΙΙ. *vac.*

## **8.** Building Specifications (*syngraphai*) of Philon's Arsenal (*IG* II² 1668, l. 1-34) – 347/6 

[Θ]εο[ί].
[σ]υνγραφαὶ τῆς σκευοθήκης τῆς λιθίνης τοῖς κρεμαστοῖς σκεύεσιν στοιχ. 54.
Εὐθυδόμου Δημητρίου Μελιτέως, Φίλωνος Ἐξηκεστίδου Ἐλευσινίου.
σκευοθήκην οἰκοδομῆσαι τοῖς κρεμαστοῖς σκεύεσιν ἐν Ζείαι ἀρξά-
μενον ἀπὸ τοῦ προπυλαίου τοῦ ἐξ ἀγορᾶς προσ̣ιόντ̣ι ἐκ τοῦ ὄπ̣ισθεν τῶν ν-
εωσο̣ίκων τῶν ὁμοτεγῶν, μῆκ̣ο̣ς τεττάρων πλέθρων, πλάτος πεντήκοντα π-
οδῶν καὶ πέντε σὺν τοῖς τοίχοις. κατατεμὼν τοῦ χωρίου βάθος ἀπὸ το-
ῦ μετεωροτάτου τρεῖς πόδας, τὸ ἄλλο ἀνακαθαράμενος ἐπὶ τὸ στέριφ-
ον στρωματιεῖ καὶ ἀναλήψεται ἴσον κατὰ κεφαλὴν ἅπαν ὀρθὸν πρὸς τ-
ὸν διαβήτην. στρωματιεῖ δὲ καὶ τοῖς κίοσιν ἀπολείπων ἀπὸ τοῦ τοίχ-
ου ἑκατέρου πέντε κ[αὶ δέκ]α πόδας σὺν τῶι πάχει τοῦ κίονος, ἀριθμὸς
τῶν κιόνων ἑκατέρου τοῦ στοίχου πέντε καὶ τριάκοντα, διαλείπων δ-
[ί]οδον τῶι δήμωι διὰ μέσης τῆς σκευοθήκης πλάτος τὸ μεταξὺ τῶν κιό-
νων εἴκοσι ποδῶν. πάχος [δ]ὲ ποήσει τὸ στρῶμα τετράπουν, τιθεὶς τοὺς
λίθους ἐναλλὰξ φορ[μη]δὸν καὶ παρὰ μῆκος. οἰκοδομήσει δὲ τοὺς τοίχ-
ους τῆς σκευοθήκη[ς κα]ὶ τοὺς κίονας Ἀκτίτου λίθου, θεὶς εὐθυντηρί-
αν τοῖς τοίχοις [π]λάτος τριῶν ποδῶν, πάχος τριῶν ἡμιποδίων, μῆκος τ-
ετραπόδων τῶν λ[ίθ]ων, ἐπὶ δὲ ταῖς γωνίαις τετραπόδων καὶ τριῶν παλ-
αστῶν. καὶ ἐπὶ τῆς εὐθυντηρίας ἐπιθήσει ὀρθοστάτας περὶ μέσηι τῆ-
ι εὐθυντηρία[ι] μῆκος τετράποδας, πάχος πενθημιποδίων καὶ δακτύλ-
ου, ὕψος τρίποδας, τοὺς δ' ἐπὶ ταῖς γωνίαις μῆκος ἐκ τοῦ μέτρου τῶν τρ-
ιγλύφων, διαλείπων θυραίας κατὰ τὸ πλάτος τῆς σκευοθήκης, δύο ἐκ[α]-
τέρωθεν, πλάτος ἐννέα ποδῶν. καὶ οἰκοδομήσει μέτωπον ἑκατέρωθε[ν]
ἐν τῶι μετα[ξ]ὺ τῶν θυρῶν, πλάτος δίπουν, εἰς δὲ τὸ εἴσω δεκάπουν. καὶ π-
ερικάμψει τὸν τοῖχον μέχρι τῶν πρώτων κιόνων, πρὸς ὃν ἀνοίξεται ἡ
θύρα̣ ἑκατέρα. ἐπὶ δὲ τοῦ ὀρθοστάτου πλινθίσιν οἰκοδομήσει τοὺς τ-
οίχους, μῆκος τετράποσιν, πλάτος πέντε ἡμιποδίων, ἐπὶ δὲ ταῖς γωνί-
αις μῆκος ἐκ τοῦ μέτρου τῶν τριγλύφων, πάχος τριημιποδίοις. ὕψος δ-
ὲ ποιήσει τῶν τοίχων ἀπὸ τῆς εὐθυντηρίας ἑπτὰ καὶ εἴκοσι ποδῶν σὺ-
ν τῆι τριγλύφωι ὑπὸ τὸ γεῖσον, τὰς δὲ θυραίας ὕψος πέντε καὶ δέκα πο-
δῶν καὶ ἡμιποδίου. καὶ ἐπιθήσει ὑπερτόναια λίθου Πεντεληϊκοῦ μῆ-
κος δώδεκα ποδῶν, πλάτος ἴσα τοῖς τοίχοις, ὕψος δίστοιχα παραστάδ-
ας στήσας λίθου Πεντεληϊκοῦ ἢ Ὑμηττίου, ὀδοὺς ὑποθεὶς Ὑμηττίους.
καὶ γεῖσον ἐπιθήσει ἐπὶ τῶν ὑπερτοναίων ὑπερέχον τρία ἡμιπόδια. κτλ.